www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ
# ΑΙΜΙΛΙΑΝΟΥ

(18 ΙΟΥΛΙΟΥ)



* * *

+ Ἱερὰ Μονὴ Σίμωνος Πέτρας + Ἅγιον Ὄρος Ἄθως +

1994

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

* * *

## Τῌ ΙΗ΄ ΙΟΥΛΙΟΥ
## ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ ΑΙΜΙΛΙΑΝΟΥ

* * *

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α΄. Πανεύφημοι μάρτυρες.

Χριστομάρτυς Αἰμιλιανέ, δυσμενοῦς κατέβαλες, τὰς μηχανὰς ἀνδρειότατε, στερρᾷ ἀθλήσει σου, προσπαλαίσας τοῦτον, καὶ Χριστῷ τῷ κτίστῃ σου, θυσία καθαρὰ καὶ εὐπρόσδεκτος, καθιερώθης νῦν, τῷ τῶν ὅλων βασιλεύοντι, δι᾽ αἰῶνος, συναγαλλιώμενος.

Μάρτυς παναοίδιμε σταυρῷ, τοῦ Χριστοῦ φραξάμενος, τὰ τῆς ψυχῆς αἰσθητήρια, πρὸς τὸν ἀντίπαλον, ἑκουσίᾳ γνώμῃ, καρτερῶς ἐχώρησας, καὶ τοῦτον προφανῶς τροπωσάμενος, συμβασιλεύεις νῦν, τῷ τῶν ὅλων βασιλεύοντι, δι᾽ αἰῶνος, συναγαλλιώμενος.

Μάρτυς παναοίδιμε Χριστόν, ἀρωγὸν κτησάμενος, τῶν ὑλικῶν κατεφρόνησας, καὶ σῶμα δι᾽ αὐτόν, τῷ διώκτῃ μάρτυς, παραδοὺς εἰς μάστιγας, ἀντέστης ἐναθλῶν μέχρις αἵματος, διὸ στεφάνῳ σε, τῷ τῆς νίκης κατεκόσμησεν, ὁ Δεσπότης, καὶ Σωτὴρ καὶ Κύριος.

Αἰμιλιανὲ μάρτυς Χριστοῦ, τῷ πυρὶ τοῦ Πνεύματος, καταφλεγεὶς τὴν καρδίαν σου, θάρρει ἐχώρησας, εἰς πυρὸς τὸ μέσον, ὡς οἱ βαβυλώνιον, τρεῖς Παῖδες κατεφρόνησαν κάμινον, καὶ στέφος εἴληφας, ἐκ χειρὸς τοῦ Παντοκράτορος, ᾧ παρέστης, χαίρων ἀγαλλόμενος.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος δ'.

Ἔχων παμμάκαρ Αἰμιλιανέ παρρησίαν πρὸς τὸν Σωτῆρα Κύριον, ὡς ἐναθλήσας νικητικῶς δι' ἀγάπην αὐτοῦ, καὶ ἀκούσας τὸ εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, μὴ παύσῃ πρεσβεύων Αὐτῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων ἀεὶ, τὴν χαρμόσυνον μνήμην σου.

Καὶ νῦν Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Καταξίωσον.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Μέγας εἶ βασιλεῦ, καὶ μέγα σου τὸ κράτος δι' οὗ ἐκραταιώθη, ὁ Μάρτυς σου ὀλέσαι, τυράννων κράτος δύσθεον.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει....

Θαῦμα καινοπρεπές, ἄνθρωπος μὲν τῇ φύσει, τεθεωμένος ὤφθη, ὑπὲρ Χριστοῦ ἀθλήσας, ὁ μάρτυς Αἰμιλιανός.

Στίχ, Πεφυτευμένος ἐν οἴκῳ Κυρίῳ....

Μνήμην σου τὴν σεπτήν, τοὺς πόθῳ ἐκτελοῦντας, μαρτύρων ὡραιότης, περίσωζε κινδύνων, καὶ πάσης περιστάσεως.

Δόξα. Ὅμοιον.

Ἔφριττον τὴν στερράν, σοῦ μάκαρ καρτερίαν, τὰ τῶν δαιμόνων στίφη, ἀγγέλων δὲ τὰ πλήθη, τοῖς ἐγκωμίοις ἔστεφον.

www.tezaurliturgic.ro

Καὶ νῦν. Θεοτοκίον.

Ὦ Δέσποινα ἁγνή, παρθένε Θεοτόκε, τὸν σὸν Υἱὸν δυσώπει, μετὰ τοῦ ἀθλοφόρου, ὑπὲρ λαοῦ καὶ ποίμνης σου.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ.

Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.

Λίθος τίμιος, τῆς Ἐκκλησίας, φυλαττόμενος, ἐν τοῖς ταμείοις, τοῖς οὐρανίοις γέγονας ἅγιε, τοὺς προσκυνοῦντας τοὺς λίθους διήλεγξας, καὶ μαρτυρίου ποτήριον ἔπιες· μάρτυς ἔνδοξε, Αἰμιλιανὲ γενναιότατε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Σέ τὴν μεσιτεύσασαν.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. στʹ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος αʹ. Τῶν οὐρανίων ταγμάτων.

Τῇ μυστικῇ παντευχίᾳ, καθωπλισμένος σοφέ, νικοποιῷ τροπαίῳ, τοῦ Χριστοῦ τῷ σημείῳ, ὦ μάρτυς θεοφόρε θράση ἐχθρῶν, δυσμενῶν ἐξηφάνισας, καὶ τῶν εἰδώλων τὰ ξόανα καθελών, μέχρις αἵματος ἐνήθλησας.

Τοῦ ζωοδότου σὺ κήρυξ, Θεοῦ γενόμενος, τυράννων καθαιρέτης, ἀθλητὰ ἀνεδείχθης, καὶ θεῖος ἀθλοφόρος, ὅθεν ζωήν, τῷ ἀθανάτῳ πιστούμενος, πρὸς τὴν ἀνέσπερον ἔβης μαρμαρυγήν, τοῦ Θεοῦ μάρτυς μακάριε.

Τὸ πῦρ ὑπήνεγκας μάρτυς, τῆξιν σαρκὸς καὶ ὀστῶν, τὸ τῶν προσκαίρων τέλος, προορώμενος πίστει, καὶ τὴν τοῦ παραδείσου διαγωγήν, καὶ τὸ φῶς τὸ ἀνέσπερον, ἐν ᾧ ὑπάρχων ἱκέτευε καὶ ἡμᾶς, φωτισθῆναι τοὺς τιμῶντάς σε.

Ἕτερα. Ἦχος δʹ. Ἔδωκας σημείωσιν.

Ἐνέδυσας Κύριε, τὸν ἀθλοφόρον σου δύναμιν, τὴν ἐξ ὕψους ἀήττητον, καὶ τοῦτον ἐνίσχυσας, διὰ σὲ βασάνους, ἐξ ἐχθρῶν ἀνόμων, ὑπενεγκεῖν ἀθλητικῶς, καὶ μαρτυρίου στέφανον δέξασθαι, δι᾽ οὗ ἡμῖν συγχώρησιν, ἁμαρτημάτων κατάπεμψον, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro

Σταυρὸν ὁπλισάμενος, ὁ ἀθλοφόρος σου Κύριε, καὶ σῷ ζήλῳ πυρούμενος, εἰδώλων ἐνέπρησε, τὰ τεμένη πάντα, καὶ τὰς παρατάξεις, τοῦ ἀρχεκάκου καθελών, Αἰμιλιανὸς ὁ ἔνδοξος, βραβεῖα νίκης Δέσποτα, τὴν βασιλείαν ἀπείληφε, παρὰ σοῦ τὴν οὐράνιον, καὶ πρεσβεύει σωθῆναι ἡμᾶς.

Ἀστέρα ὑπέρλαμπρον, τῇ Ἐκκλησίᾳ ἀνέδειξας, Αἰμιλιανὸν τὸν μάρτυρα, ὁπλίτην τε ἄριστον, δαδουχοῦντα πᾶσαν, νῦν τὴν οἰκουμένην, θαυματουργίαις μυστικαῖς, καὶ ἀθείας σκότος ἐλαύνοντα, ὑφ᾽ οὗ φωταγωγούμενοι, θεοπρεπῶς ἀνυμνοῦμέν σε, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. β΄.

Ἔνθεον ζῆλον ἔχων ἐν τῇ ψυχῇ σου ἔνδοξε, τὰ εἴδωλα τῶν ἐθνῶν συνέτριψας, καὶ τοὺς ἀνομοῦντας διακενῆς, καρτερικῶς διήλεγξας· διὸ ὁμιλήσας πυρὶ καὶ βασάνοις, τὸν σὸν ἀγῶνα διήνυσας, γενναίῳ φρονήματι· ἐν οὐρανοῖς οὖν βασιλεύων σὺν τῷ Χριστῷ, μετὰ πάντων τῶν Ἁγίων, μάρτυς Αἰμιλιανέ, ἀθλοφόρων ἐγκαλλώπισμα, ὡς παρρησίαν ἔχων, μὴ διαλείπῃς πρεσβεύων ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν. Τίς μή μακαρίσει σε.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.

(κεφ.μγ΄. 9)

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς ἤ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ καὶ ἀκουσάτωσαν· γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεός καὶ ὁ Παῖς μου, ὅν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσετέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ

www.tezaurliturgic.ro

τῶν χειρῶν μου ὁ ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

(κεφ.γ΄.1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασαεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

(κεφ.ε΄ 16 - στ΄ 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε. Μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ

www.tezaurliturgic.ro

κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. Πρῶτον τὸ τῆς Μονῆς, εἶτα

Ἦχος α΄.

Εὐφραίνεται σκιρτῶσα ἡ Ἐκκλησία τοῦ Θεοῦ καὶ ἀγαλλομένη χορεύει κράζουσα· ἰδού, ὁ χριστομάρτυς μου Αἰμιλιανὸς τὸν καυτῆρα τοῦ Πνεύματος οἰκειωσάμενος, ἠνδρίσατο γενναίως κατὰ τοῦ ἀρχεκάκου ἐχθροῦ, καὶ κατ᾽ αὐτοῦ ἐξορμήσας, συνέθλασε ἐνδόξως τὰς ἀνθρωποβόρους τούτου μύλας. Ὅθεν ἐμαυτῇ τὴν νίκην ἐπιγράφουσα καὶ τὰ εὐχαριστήρια ἀποδιδοῦσα τῷ Νυμφίῳ μου Χριστῷ λέγω πρὸς Αὐτόν· παράλαβε, ὦ ἀθλοθέτα, τὸν δαιμονοκαταλυτήν σου καὶ ἀπόδος αὐτῷ τὸ δίκαιον ὄφλημα.

Ἦχος β΄.

Οὐκ ἐπαύσατο, Κύριε, ὁ ὑπὸ σοῦ ἀρξάμενος κατὰ τοῦ διαβόλου πόλεμος. Οὐκ ἐξέλιπον οἱ γενναῖοί σου στρατιῶται, οὐδὲ ἡ οἰκουμένη μένει ἀπαράκλητος, ὅτι οἱ φίλοι σου οἱ ἀτίμητοι ἀείποτε δοξάζουσι τὸ Ὄνομά σου, ἐν οἷς καὶ ὁ θεῖος Αἰμιλιανός, ὁ πυρίκαυστος πληρωτὴς τοῦ Εὐαγγελίου σου· οὗ τὴν μνήμην τιμῶντες σήμερον σὲ μεγαλύνομεν, ὅτι χριστοειδές σου ἐκτύπωμα τοῦτον ἀνέδειξας.

Ἦχος πλ. α΄.

Ὢ θείας καὶ γενναιόφρονος ψυχῆς! ὢ ἀνδρείου καὶ χριστολήπτου φρονήματος! ἅπερ ἐπέδειξας ἐν τῷ μαρτυρίῳ σου θεῖε μάρτυς Αἰμιλιανέ. Εἰς οὐδὲν γὰρ λογισάμενος τὸ φθαρτὸν καὶ μάταιον τῆς παρούσης ζωῆς, ἀπεσκυβάλισας σεαυτὸν κατὰ τὸν θεῖον Παῦλον. Καὶ ἐψηθεὶς ὑπὲρ τοῦ ἀληθοῦς Ἰχθύος, νῦν μετέχεις τῆς μυστικῆς Αὐτοῦ τραπέζης· διὸ χόρευε ἀήττητε, ἀγάλλου θεοδόξαστε, σκίρτα θεοφόρε καὶ μνήσθητι τῶν ὑμνολόγων σου.

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ.δ′.

Τὰ τῶν ἐθνῶν εἴδωλα μυκτηρίσας ἀθλοφόρε, ὡς ἀργύριον καὶ χρυσίον ἀπολλύμενα γενναιοψύχως ταῦτα συνέτριψας. Ὡς ὑπὲρ τῆς ἀληθείας δὲ μαρτυρήσας ἀνδρείως, ἀπεθησαυρίσθης ἐν οὐρανοῖς ὡς πολυτίμητος θησαυρός, Αἰμιλιανὲ χριστομιμητά· διὸ καὶ τὸ μνημόσυνόν σου μένει εἰς αἰῶνας, δόξα καὶ χαρὰ καὶ καύχημα τῆς Ἐκκλησίας.

Καὶ νῦν. Θεοτοκίον

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος δ′. Ὡς γενναῖον ἐν μάρτυσι.

Τῶν ἑλλήνων σεβάσματα, ὥσπερ κόνιν ἐλέπτυνας, καὶ σαὐτὸν ἀνέστησας στήλην ἔμψυχον, θεογνωσίας ἐν χάριτι, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, μάρτυς Αἰμιλιανέ, καὶ ναὸν ἁγιάσματος, καὶ ἀκράδαντον, εὐσεβείας κρηπῖδα τοῖς τιμῶσι, τοὺς γενναίους σου ἀγῶνας, εὐσεβοφρόνως πανόλβιε.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Καὶ πυρὶ λιπαινόμενος, καὶ πληγαῖς καλλυνόμενος, καὶ εἱρκταῖς ἀοίδιμε συγκλειόμενος, καὶ πολυτρόποις κολάσεσι, ξοάνοις οὐκ ἔθυσας, οὐκ ἠρνήσω τὸν Χριστόν, ἀλλ᾽ ἀήττητος ἔμεινας, ὅθεν νέμει σοι, τοὺς στεφάνους τῆς νίκης ὁ Δεσπότης, καὶ καλὸς ἀγωνοθέτης, ὡς βασιλεὺς ἀδιάδοχος.

Στίχ. Πεφυτευμένος ἐν ταῖς αὐλαῖς. τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Ἐξ αἱμάτων οἰκείων σου, πορφυρίδα ἐπέχρωσας, ἥν περ ἐνδυσάμενος εἰσελήλυθας, εἰς τὰ βασίλεια ἔνδοξε, τὰ ἄνω γηθόμενος, καὶ Θεῷ τῷ βασιλεῖ, εἰς αἰῶνας παρίστασαι, ἐξαιτούμενος, τοῖς τιμῶσι ταχέως τὴν ἁγίαν, νῦν ἐν πίστει ἑορτήν σου, τῶν δυσχερῶν ἀπολύτρωσιν.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. α′.

Δεῦτε φιλομάρτυρες δεῦτε, λάβετε ψαλμὸν καὶ τύμπανον, καὶ κιθάρας τοῦ Θεοῦ, καὶ τὰ χείλη ἐκκαθάρατε, πρὸς ὑμνῳδίαν Αἰμιλιανοῦ τοῦ τρισενδόξου ἀθλητοῦ. Ψάλλατε αὐτοῦ τὸ φιλόθεον, ᾄσατε τὸ καρτερὲς ἐν ταῖς πολυειδέσι βασάνοις, καὶ κιθαρίσατε ἐπὶ τῇ δόξῃ αὐτοῦ τῇ πεποθημένῃ. Ἅμα δὲ αἰτήσατε τὴν δι' αὐτοῦ ἄφεσιν τῶν ὑμῶν πταισμάτων, καὶ γὰρ ποιεῖ ὁ Κύριος, θέλημα τῶν φίλων Αὐτοῦ.

Καὶ νῦν. Μακαρίζομέν σε...

Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ἀπολυτίκιον, ὡς ἐν τῷ μικρῷ ἑσπερινῷ.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. στιχ. Κάθισμα, ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς θεῖον σε ἰχθύν, τῷ πυρὶ ὀπτηθέντα, ὑπὲρ τῆς τοῦ Χριστοῦ, ἀγαπήσεως μάρτυς, τιμῶντες θαυμάζομεν, τὴν στερρὰν παρρησίαν σου, ὅθεν σύντριψον, εἰδωλικὰ ἡμῶν πάθη, ταῖς πρεσβείαις σου καὶ τοῦ Δεσπότου τὸν πόθον, καρδίαις ὑπάναψον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, τὸ ἀρχαγγελικόν, καθαρώτατον ᾆσμα, Παρθένε θεόνυμφε, μητροπάρθενε Δέσποινα, καθικέτευε Υἱὸν γλυκύτατον Κόρη, ὅπως λάβωμεν, ἁμαρτιῶν ἡμῶν λύσιν, καὶ χάριν τοῦ Πνεύματος.

Μετὰ τὴν β΄ στιχ. Κάθισμα, ἦχος δ΄. Ὁ ὑψωθείς.

Ὡς προσφορὰ καὶ ὁλοκάρπωμα θεῖον, διὰ πυρὸς προσενεχθεὶς τῷ Δεσπότῃ, τοῖς ὄμβροις τῶν χαρίτων σου εὐφραίνεις νῦν ἡμᾶς· πῦρ γὰρ τὸ οὐράνιον, τῇ ψυχῇ περιφέρων, ὥσπερ αὔραν ἔφερες, τὴν κατάφλεξιν μάρτυς· ἀλλὰ μὴ παύσῃ πάντοτε φρουρῶν, τοὺς σὲ τιμῶντας, Αἰμιλιανὲ ἔνδοξε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Μετὰ τὸν Πολυέλεον. Κάθισμα, ἦχος πλ.δʹ. Τὴν Σοφίαν καὶ Λόγον.

Τῶν εἰδώλων τὴν πλάνην διαφυγών, τῷ Χριστῷ ἠκολούθησας ἐκ ψυχῆς, ὦ μάρτυς θεόληπτε, τῶν δαιμόνων ἀντίπαλε, τῶν βουνεύρων τὰς τύψεις γενναίως ὑπήνεγκας, τῷ Κυρίῳ κράζων, ζυγόν σου ὑπέζευγμαι· ὅθεν μὴ παρίδῃς, Ἰησοῦ μου σὸν δοῦλον, ἀλλὰ ἐξοπτώμενον, δρόσισόν με τοῖς κόλποις σου, ὅπως χαίρων κραυγάζω σοι· δόξα σοι Μαρτύρων Θεέ, ὁ δωρήσας μοι ἄφθαρτα χαρίσματα, ἀντὶ πόνων ὀλίγων, καὶ δόσεως αἵματος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξί, σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκί, πᾶσαι μακαρίζομεν, γενεαὶ τῶν ἀνθρώπων· τὸ γὰρ πῦρ ἐσκήνωσεν ἐν σοὶ τῆς θεότητος, καὶ ὡς βρέφος θηλάζεις, τὸν κτίστην καὶ Κύριον· ὅθεν τῶν ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν, Παναγία τὸ θαῦμά σου, καὶ συμφώνως βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄφθορον τόκον σου.

Οἱ Ἀναβαθμοί, τὸ αʹ. ἀντίφωνον τοῦ δʹ ἤχου· Ἐκ νεότητός μου...
Προκείμενον· Δίκαιος ὡς φοῖνιξ ἀνθήσει....
Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου....
Εὐαγγέλιον, τὸ τοῦ Ὄρθρου τοῦ ἁγίου Γεωργίου (κγʹ Ἀπριλίου)
Ὁ Νʹ, Ἐλέησόν με ὁ Θεός...
Δόξα, Ταῖς τοῦ ἀθλοφόρου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...

καὶ τὸ ἰδιόμελον. Ἦχος πλ.βʹ.

Θείῳ ἔρωτι τρωθείς, ἔδωκας τὸ σῶμά σου ἀοίδιμε, πρὸς τὰς βασάνους τοῦ πυρός, τὴν ψυχήν σου πάσης ἁμαρτίας τῶν παρανόμων τηρήσας ἄμωμον καὶ ἀκίβδηλον. Ὡς ἀνυψώσας δὲ τὸν νοῦν πρὸς τὸν Δεσπότην καὶ πλάστην σου, Αἰμιλιανὲ μάρτυς μακάριε, κατοικεῖν ἠξίωσαι, εἰς παστάδα τὴν οὐράνιον, ὅθεν ἡμᾶς ταῖς πρεσβείαις σου ἐνίσχυσον.

www.tezaurliturgic.ro

*Σῶσον ὁ Θεός...καὶ οἱ Κανόνες. Πρῶτον τῆς Θεοτόκου, εἰ μὴ τύχοι Κυριακή, ὁ παρών, οὗ ἡ ἀκροστιχίς: Αἴνων ἀπαρχὰς εἰσάγω σοι Κυρία. Θεοφάνους.*

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ εἱρμός.

>>Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον >>ἐρεύξομαι, τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ >>ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα. (ἐκ β΄.)

Τροπάρια

Αἰσθήσεως Δέσποινα, διπλῆν πεντάδα συνέτισον, δεκάχορδον ὄργανον, δεῖξον σῇ χάριτι, τὴν ὑπέρχρονον, Σοφίαν ἡ τεκοῦσα, ἁρμόνιον ὅπως σοι, ᾄσω μελῴδημα.

Ἰσχύι Πανάμωμε, βουλῆς μεγάλης ὁ Ἄγγελος, ὁ πάντα στησάμενος, ἐκ τοῦ μὴ ὄντος τὸ πρίν, ἐπεδήμησεν, ἐκ σοῦ δι᾽ εὐσπλαγχνίαν, καὶ σχίσας τὸν κώδικα, λύσιν δεδώρηται.

Νεφέλην σε ἔμψυχον, τοῦ πατρικοῦ ἀπαυγάσματος, γινώσκομεν Δέσποινα, ἀνατολὴν τοῦ Φωτός, τοῦ φωτίσαντος, ἡμῶν τὴν ἀκοσμίαν, καὶ πάντας ἑλκύσαντος, πρὸς τὰ οὐράνια.

Ὡράθης ἀσύγκριτος, κόσμος τῶν ἄνω δυνάμεων, καὶ πάσης τῆς κτίσεως, Θεογεννῆτορ ἁγνή, ἡ θεώσασα, τὴν φύσιν τῶν ἀνθρώπων, καὶ ᾅδην νεκρώσασα, μόνη τῷ τόκῳ σου.

*Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς· Αἰμιλιανοῦ μάρτυρος μέλπω κλέος. Ἰωσήφ. Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.*

Αἰνέσωμεν σήμερον, τὸν ἐπὶ πάντων Θεὸν ἡμῶν, καὶ τούτου τὸν μάρτυρα, ἀνευφημήσωμεν, ἐναθλήσαντα, νομίμως καὶ τῆς νίκης, τὸ στέφος ἀράμενον, σθένει τοῦ Πνεύματος.

www.tezaurliturgic.ro

Ἰσχὺν ἐνδυσάμενος, τοῦ τὴν ἡμῶν ἀγαθότητι, ἀσθένειαν ἔνδοξε, μάρτυς φορέσαντος, ἀπεγύμνωσας, εἰδώλων ἀσθενείας, τὸ μάταιον φρύαγμα, θεομακάριστε.

Μονάδα τρισάριθμον, ἑνιζομένην ταυτότητι, ἀοίδιμε φύσεως, χαίρων ἐκήρυξας, καὶ πολύθεον, διέλυσας ἀπάτην, ἀθλήσας στερρότατα, ἀξιοθαύμαστε.

Θεοτοκίον

Ἰσχύς μου καὶ ὕμνησις, καὶ φωτισμὸς τῆς καρδίας μου, ὑπάρχει Πανάμωμε, Χριστὸς ὁ Κύριος, Ὅν ἐκύησας, ἐν δύο ταῖς οὐσίαις, μιᾷ ὑποστάσει δέ, κατανοοούμενον.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

ᾨδὴ γ΄. Ὁ εἱρμός.

>>Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, >>θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ >>σου, στεφάνων δόξης ἀξίωσον. (ἐκ β΄.)

Τῆς Θεοτόκου.

Νενίκηνται φύσεως οἱ ὅροι, καὶ λέλυνται νόμοι φυσικοί, τῇ ὑπὲρ νοῦν λοχείᾳ σου, Παρθενομῆτορ ἄχραντε, ἐκ σοῦ γὰρ ὁ ἀνείδεος, σαρκὸς τὸ εἶναι προσείληφεν.

Ἀμίαντον κλίνην Σολομών σε, κατεῖδεν ἑξήκοντα σοφοῖς, πυργυρουμένην Δέσποινα, ἐν ᾗ Θεὸς τὸ πρόσλημμα, ἀνακλιθεὶς προσέλαβε, καὶ τοῖς βροτοῖς προσωμίλησε.

Πορφύραν ἁγνῶν σου ἐξ αἱμάτων, ὁ Λόγος φορέσας τοῦ Θεοῦ, δίχα τροπῆς καὶ φύρσεως, καὶ τοῦ Ἀδὰμ τὴν γύμνωσιν, καλύψας περιέβαλε, τὴν θεΐκὴν ὡραιότητα.

www.tezaurliturgic.ro

Ἀστέκτου θεότητος χωρίον, καὶ πόλις ἡ ἔμψυχος Θεοῦ, σὺ ὤφθης Παναμώμητε, ἐν ᾗ μεγάλα εἴργασται, τῆς ἀπορρήτου γνώσεως, ἃ ἐξ αἰῶνος οὐκ ἤκουσται.

Τοῦ Μάρτυρος.

Λύχνος τοῖς ποσί σου ἐγενήθη, καὶ φῶς σου ταῖς τρίβοις ἀληθῶς, ὁ νόμος τοῦ Θεοῦ ἡμῶν, δι᾽ οὗ καθυπεσκέλισας, παρανομούντων βήματα, μαρτυρικῶς κλεϊζόμενος.

Ἰθύνας νοός σου τὰς πορείας, πρὸς θείου θελήματος σοφέ, λιμένα γαληνότατον, πολυθεΐας θάλασσαν, κυματουμένην πνεύματι, τῆς πονηρίας διέφυγες.

Αἰμιλιανοῦ τοὺς θείους ἄθλους, τὴν πίστιν καὶ μέχρι τελευτῆς, ἀνδρείαν κατεπλάγησαν, δυνάμεις αἱ οὐράνιαι, ὅπως σαρκὶ τὸν ἄσαρκον, ταπεινωθεὶς καταβέβληκε.

Θεοτοκίον

Νόμους τοὺς τῆς φύσεως λαθοῦσα, ἐν τῷ ὑπὲρ φύσιν τοκετῷ, Παρθένος μετὰ γέννησιν, Παρθενομῆτορ ἔμεινας, τὸν πλαστουργὸν γὰρ Ἄχραντε, ἁπάσης κτίσεως τέτοκας.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Πυρπολούμενος, τῷ θείῳ ζήλῳ, πῦρ ὁμόδουλον, οὐκ ἐπτοήθης, ἀλλ᾽ ὑπελθὼν ἀπτοήτῳ θελήματι, τὴν ἀναφθεῖσαν πυρὰν ὡλοκαύτωσαι, καὶ τῷ Δεσπότῃ ὡς θῦμα προσήνεξαι· μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον,

Θείας φύσεως, οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος, ἐν τῇ γαστρί σου, ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Παρθένον φυλάξας σε,

www.tezaurliturgic.ro

ὡς πρὸ τοῦ τόκου μητέρα πανάμωμον, μόνος Κύριος, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠδὴ δ'. Ὁ εἱρμός.

>>Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ, >>ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παλάμῃ καὶ διέσωσε, τοὺς >>κραυγάζοντας, δόξα Χριστὲ τῇ δυνάμει σου.

Τῆς Θεοτόκου.

Ρεῖθρον ζῶν ἀθανασίας, οἷα κρήνη πηγάσασα, τὸ τῆς εὐσπλαγχνίας, νέκταρ τὸ γλυκὺ καὶ χρυσόρρειθρον, τοὺς φλεγομένους ἐν δίψει, ἡ δροσίζουσα, ὁ παράδεισος, ὄντως σὺ πάντερπνος Δέσποινα.

Χρυσαυγίζουσαν λυχνίαν, ἑπταφώτοις χαρίσμασι, σὲ ἐκ παντὸς γένους, ἥλιος Χριστὸς ἐξελέξατο, καὶ κατελθὼν τῶν ἀδύτων ἐνυμφεύσατο, ἀπειράνδρως τὴν σάρκα, βροτῶν εἰς ἀνάπλασιν.

Συνοχέα ἀποτίκτεις, τοῦ παντὸς τὸν συνάψαντα, εἰς ταὐτὸ τὰ ἄκρα, καὶ τὰ διεστῶτα ἑνώσαντα, δι' ἧς τὰ ἄνω τοῖς κάτω συγχορεύουσι, καὶ δοξάζουσι, πάντα ὡς πρόξενον Δέσποινα.

Ἐργαστήριον τῶν δύο, τῆς ἑνώσεως φύσεων, σὺ ὑπῆρξας Κόρη, ὑπὲρ νοῦν καὶ λόγον καὶ ἔννοιαν, ἐξ ἧς ὁ πάντων Δεσπότης ἐξυφάνατο, οὐ τροπῇ ἀλλ' ἑνώσει, φορέσας τὴν σάρκωσιν.

Τοῦ Μάρτυρος.

Ὁ Θεοῦ σε θεῖος ἔρως, παραδόξως ἀνέφλεξεν, ὅθεν τῶν μαστίγων, τὸ πικρὸν καὶ πυρὰν ἐκαρτέρησας, καὶ τοὺς θεοὺς τῶν ἀθέων ἐνεπύρισας, καὶ ψυχὰς παμμάκαρ, τῶν πιστῶν κατεδρόσισας.

Ὑπερεῖδες τὰ παρόντα, διὰ μόνα τὰ μένοντα, καὶ τῷ θείῳ πόθῳ, ὅλην τὴν ψυχήν σου προσέδησας, τῆς ἀσεβείας τὸ κράτος ὅθεν ἔλυσας, ἀθλοφόρε, Αἰμιλιανὲ ἀξιάγαστε.

www.tezaurliturgic.ro

Μίαν φύσιν μίαν δόξαν, τρισηλίου Θεότητος, εὐσεβῶς δοξάζων, Αἰμιλιανὲ πρὸς τὸ στάδιον, ὡς στρατιώτης γενναῖος εἰσελήλυθας, καὶ τὸν δράκοντα, τὸν ἰσχυρὸν κατηδάφισας.

Θεοτοκίον

Ἁγιάσματός σε τόπον, τοῦ ἡμᾶς ἁγιάσαντος, Παναγία Κόρη, μόνην εὑρεθεῖσαν δοξάζομεν, δι᾽ οὗ ἡ γῆν κατοικοῦντες οὐρανώθημεν, καὶ ζωῆς ἀληθοῦς ἠξιώθημεν.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

ᾨδὴ ε΄. Ὁ εἱρμός.

>>Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε
>>Παρθένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον
>>Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

Τῆς Θεοτόκου.

Ἰσχύς μου καὶ ὕμνησις, ὑπάρχεις παναμώμητε, ἔρεισμα στερρὸν τῆς ἀληθείας, τῆς εὐκληρίας ἡ ἐπανάκλησις, ἐν ᾗ ἀνατίθημι Σεμνή, πᾶσαν τὴν ἐλπίδα μου, καὶ ζωῆς τὴν ἀπόλαυσιν.

Σεμνὴ χαριτόπλοκος, σὺ εἶ φύσιν τὴν ἄστεκτον, κρύψασα θεότητος ἐν μήτρᾳ, ἀναλλοιώτως, ἐν ὑποστάσει μιᾷ, δι᾽ ἧς σαρκοφόρος ὁ Θεός, πᾶσιν ἀναδέδεικται, καὶ βροτὸς ὑπερούσιος.

Γλυκεῖα σὺ θάλασσα, ἀλλ᾽ ὅμως ἀδιάβατος, ἄρδην ἡ βυθίσασα τριστάτας, καὶ ἀναβάτας, σὺν νοητῷ φαραώ, καὶ σώσασα νέον Ἰσραήλ, πόλιν εἰς οὐράνιον, καὶ λιμένα γαλήνιον.

Ὡραῖος ὑπέρκεισαι, καὶ θαυμαστῶς ἐν κάλλεσι, νύμφη ᾀσματίζουσά σοι κράζει, δι᾽ ἧς φοιτήσας ὁ ἐραστὴς τῶν καλῶν, εὐγένισε Δέσποινα βροτῶν, φύσιν καὶ διέσωσεν, ἐκ χειρὸς τοῦ ἀλάστορος.

www.tezaurliturgic.ro

Τοῦ Μάρτυρος.

Ρανίσι κατέσβεσας, τῶν ἱερῶν αἱμάτων σου, Αἰμιλιανὲ πῦρ ἀθείας, ὅθεν θαυμάτων, πηγὴν ἀνέβλυσας, λίμνας ἀναστέλλουσαν παθῶν, νόσους κατακλύζουσαν, καὶ βυθίζουσαν δαίμονας.

Ταθέντα σε τύπτεσθαι, ὁ δυσσεβὴς προσέτταττεν, ὅθεν σπαραττόμενος τὴν σάρκα, καὶ ταῖς αἰκίαις τραυματιζόμενος, τοῦ τραυματισθέντος ἐν σταυρῷ, πάθος ἐξεικόνισας, ἀθλητὰ τὸ μακάριον.

Ὑπάρχων ἀνάπλεως, τῶν δωρεῶν τοῦ Πνεύματος, νόσους ἀνιάτους θεραπεύεις, ἀρρωστημάτων παύεις τὸν καύσωνα, πνεύματα διώκεις πονηρά, πᾶσι τοῖς ἐν θλίψεσι, βοηθεῖς ἀξιάγαστε.

Θεοτοκίον

Ρομφαίᾳ τρωθέντα με, τῆς ἁμαρτίας ἴασαι, τῷ δραστικωτάτῳ σου φαρμάκῳ, ἡ τὸν Σωτῆρα Χριστὸν κυήσασα, λόγχῃ τὸν τρωθέντα δι' ἐμέ, Ἄχραντε καὶ τρώσαντα, τὴν καρδίαν τοῦ ὄφεως.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ στ'. Ὁ εἱρμός.

>>Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, >>τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, >>Θεὸν δοξάζοντες.

Τῆς Θεοτόκου.

Σοφίαν Λόγον κηρύττομεν, Υἱὸν τὸν τοῦ Πατρὸς προαιώνιον, ἐπισκηνώσαντα, οὐσιωδῶς ἐν τῇ μήτρᾳ σου, καὶ τῇ ἀρίστῃ πλάσει, ἡμᾶς θεώσαντα.

Ὁ στήσας ὄρη τῷ νεύματι, σὲ ὄρος νοητὸν καθυπέδειξε, Θεοχαρίτωτε, ταῖς ἀρεταῖς ὄν κατάσκιον, ἐξ οὗ αὐτὸς τὴν σάρκα κατελαξεύσατο.

www.tezaurliturgic.ro

Ἰῷ δηχθεῖσα τοῦ ὄφεως, τὸ γένος ἡ Προμήτωρ διώλεσεν, ἐκ σῆς δὲ Πάναγνε, ἀνερμηνεύτου κυήσεως, θεοῦται πᾶσα φύσις, τρόπῳ βελτίονι.

Κηρύττω βλέπων τὰ θαύματα, τὰ πέρα νοῦ καὶ γνώσεως Πάναγνε, πῶς ὁ ἀχώρητος, ἐν σοὶ ἀρρεύστως κεχώρηται, πῶς χρηματίζει κτίσμα, ὁ Κτίστης Δέσποινα;

Τοῦ Μάρτυρος. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης.

Ὄλβιος καὶ πλήρης θείας δόξης, τῷ μαρτυρίῳ μάκαρ ἐχρημάτισας, καὶ μετ' ἀγγέλων τοὺς οὐρανοὺς κατοικεῖς δεόμενος, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σώματος θνητοῦ σὺ οὐκ ἐφείσω, ἀθανασίαν ὅθεν, διαμένουσαν κατεκληρώσω, θανατωθεὶς διὰ πόθον ἔνδοξε, τοῦ τὰ πάθη θανατώσαντος.

Μύρον ἀναβλύζει οἷα ρεῖθρον, ἡ τῶν λειψάνων θήκη, σοῦ πανόλβιε γενναῖε μάρτυς, καὶ καταργεῖ τὰ δυσώδη πάντοτε, τῶν ἀνθρώπων ἀρρωστήματα.

Θεοτοκίον.

Εὔα μὲν ἐτρύγησε τοῦ ξύλου, καρπὸν θανατηφόρον, σὺ δὲ Πάναγνε ζωῆς τὸ ξύλον καρπογονεῖς, οὗ ἡ γεῦσις ἅπαντας, τοὺς θανόντας ἀνεζώωσε.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχος πλ.δ΄. Τῇ Ὑπερμάχῳ.

Ὡς εὐσεβείας στηλογράφημα θεόγλυπτον,
τῆς ἀσεβείας καθαιρέτης ἀναδέδειξαι,
τὰ σεβάσματα συντρίψας τῆς ἀπωλείας,
ἀλλ' ὡς ἔμπλεως τῆς θείας ἀγαπήσεως,
ὡς χρυσὸς ἐν τῷ πυρὶ εὑρέθης δόκιμος,
ὅθεν κράζομεν· Χαίροις μάρτυς ἀήττητε.

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Ὁ Οἶκος

Ἄνθρωπος εἰ πελάσει τῷ πυρὶ ἀνθρακοῦται, ὡς φύσεως ὁ νόμος διδάσκει· σύ, ὅμως, Αἰμιλιανὲ τρισόλβιε, φλογότροφος ἐφάνης ἐνεργείᾳ τοῦ Πνεύματος, τῆς ζωῆς ἐπιτυχὼν ὡς ἐκ μέσου καμίνου γεννηθεὶς, διό σοι ἐκθαμβούμενοι βοῶμεν σὺν ἀγγέλοις ταῦτα·

Χαῖρε τοῦ Δοροστόλου χριστόθυτον δώρημα·
χαῖρε τῆς Ἐκκλησίας χαρμοφόρητον ἀπόκτημα.
Χαῖρε τῶν εἰδώλων γενναιότατε σφυροθρῦπτα·
χαῖρε τῆς ἀληθείας θεοφώτιστε κήρυξ.
Χαῖρε θεολογήσας τὸν Χριστὸν Θεὸν εἶναι·
χαῖρε ἐκμυκτηρίσας τῶν ξοάνων τὴν πλάνην.
Χαῖρε ὁ καταπνίξας τὸν ἐχθρὸν τοῖς σοῖς αἵμασι·
χαῖρε ὁ θησαυρίσας Βασιλείαν ἀσάλευτον.
Χαῖρε ἀθανασίας παράδοξος σαλαμάνδρα·
χαῖρε τοῦ φλογοδρόμου Ἡλιοῦ ὁμοπρᾶκτα.
Χαῖρε Μαρτύρων θυμηρά τις προσθήκη·
χαῖρε τῶν σὲ τιμώντων ἀκαταίσχυντος πρέσβυς·
Χαῖρε Μάρτυς ἀήττητε.

Συναξάριον

**Τῇ ΙΗ′ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου μάρτυρος Αἰμιλιανοῦ, τοῦ ἐν Δοροστόλῳ ἀθλήσαντος καὶ ἐν καμίνῳ πυρὸς τελειωθέντος.**

Στίχοι

Αἰμιλιανὸς εἰς πυρὰν βεβλημένος,
Χριστῷ παραστάς, τέρπεται σὺν ἀγγέλοις.
Ὀγδοάτῃ δεκάτῃ φλογὶ Αἰμιλιανὸς βλήθη.

Οὗτος ὑπῆρχεν ἐκ Δοροστόλου τῆς ἐν Θράκῃ Μοισίας, δοῦλος ἕλληνός τινος, κατὰ τοὺς χρόνους Ἰουλιανοῦ τοῦ Παραβάτου καὶ βικαρίου Καπετωλίου. Σεβόμενος δὲ ἐκ ψυχῆς ὅλης τὸν Χριστὸν καὶ τὰ εἴδωλα μυσαττόμενος, εὑρὼν ἐπιτήδειον ἡσυχίας καιρὸν καὶ λαβὼν σφύραν, εἰσῆλθεν εἰς τὸν εἰδωλικὸν ναόν, ἔνθα συντρίψας πάντα τὰ ἐν αὐτῷ

www.tezaurliturgic.ro

γλυπτὰ ξόανα, διεσκόρπισεν ἅμα καὶ τὰς βδελυρὰς θυσίας. Ἀγομένων δὲ ἑτέρων ἀνευθύνων ὡς δραστῶν τῆς τοιαύτης πράξεως καὶ αἰκιζομένων παρὰ τοῦ βικαρίου, ἀπελθὼν ἐνώπιον αὐτοῦ προσαγγέλλει ἑαυτὸν καὶ ὁμολογεῖ χριστιανόν, ὅθεν εὐθὺς τύπτεται βουνεύροις. Εἶτα δὲ καὶ εἰς κάμινον σφόδρα πυρωθεῖσαν βληθεὶς καί, χάριτι Θεοῦ, ἄφλεκτος διαμείνας, τῷ Δεσπότῃ Χριστῷ τὸ πνεῦμα παρέδωκε.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Παύλου, Θεῆς καὶ Οὐαλεντίνης.

Μνήμη τοῦ ἁγίου μάρτυρος Ὑακίνθου τοῦ ἐν Ἀμάστριδι τοῦ Πόντου.

Ὁ ἅγιος Μάρκελλος ἐν κραββάτῳ πυρακτωθέντι ἁπλωθεὶς τελειοῦται.

Οἱ ἅγιοι μάρτυρες Δάσιος καὶ Μάρων ξίφει τελειοῦνται.

Ὁ ὅσιος πατὴρ ἡμῶν Παμβὼ ὁ ἐν Νιτρίᾳ ἐν εἰρήνῃ τελειοῦται.

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

Ὠδὴ ζ'. Ὁ εἱρμός.

>>Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες παρὰ τὸν Κτίσαντα,
>>ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον·
>>ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ.

Τῆς Θεοτόκου.

Ὑπερίπταται, τὸ ξένον τῆς λοχείας σου, πᾶσαν διάνοιαν, σωματικῶς γὰρ γραφείς, ὁ φύσει ἀπρόσιτος καὶ ἀπερίγραπτος, καθυπέγραψε, βίβλῳ ζωῆς τοὺς δούλους σου, Παναγία Θεοτόκε.

www.tezaurliturgic.ro

Ρητορεύσεις, προφητόφθεγκτοι πεπλήρωνται, ἐν σοὶ θεόνυμφε, τὸν γὰρ κοσμήτορα σύ, τοῦ κόσμου γεννήσασα πάντας ἐκόσμησας, καὶ ἐφώτισας, εὐλογημένη Πάναγνε, τῶν βροτῶν ἡ σωτηρία.

Ἰσοδύναμον, Πατρί τε καὶ τῷ Πνεύματι, Λόγον ἐκύησας, τὸν ἐν δυσὶν ἀγαθῇ, οὐσίαις ὑπάρξαντα, μίαν ὑπόστασιν, ὑπερύμνητε, εὐλογημένη Δέσποινα, τῶν βροτῶν ἡ σωτηρία.

Ἀθεώρητον, βυθὸν κατανοοῦμέν σε, καὶ ὕψος ἄρρητον, Παρθενομῆτορ βροτῶν, τὴν φύσιν ὑψώσασαν τῷ θείῳ τόκῳ σου, ὑπερύμνητε, εὐλογημένη Δέσποινα, τῶν βροτῶν ἡ σωτηρία.

Τοῦ Μάρτυρος.

Λαμπρυνόμενος, τῇ χάριτι μακάριε, τοῦ θείου Πνεύματος, τὴν τῆς καμίνου πυράν, ὑπῆλθες καὶ ἔψαλλες, μάρτυς θεόπνευστε, ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ.

Πυρακτούμενος, τῷ ἔρωτι μακάριε, τοῦ ἐραστοῦ σου Χριστοῦ, τὸ πῦρ οὐκ ἔπτηξας ἐν ᾧ, μάλα δροσιζόμενος, πνεύματι ἔψαλλες, ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ.

Ὡραιότητι, τῶν ἄθλων ἐξωμοίωσαι, τοῖς ἀσωμάτοις σοφέ, ὡραιοτάτῳ Χριστῷ, μεθ' ὧν παριστάμενος, μέλπεις γηθόμενος, ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ.

Θεοτοκίον

Κυριώνυμε, θεόνυμφε τὸ Χαῖρέ σοι, πίστει κραυγάζομεν, καὶ γὰρ ἐκύησας, χαρὰν ἀνεκλάλητον, Χριστὸν τὸν Κύριον, ᾧ κραυγάζομεν, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η'. Ὁ εἱρμός.

>>Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο,
>>τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν,

www.tezaurliturgic.ro

>>ἀγείρει ψάλλουσαν, τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς >>πάντας τοὺς αἰῶνας.

Τροπάρια

Θεῖος θησαυρὸς πάσης ἁγνείας, καὶ σκήνωμα παρθενίας θεοχάρακτον, ὤφθης Θεονύμφευτε, κρῖνον εὐωδέστατον, τοῦ φυτουργοῦ τῆς κτίσεως, καὶ θεῖον τέμενος, διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἔφερες τὸ πῦρ ὥσπερ ἡ Βάτος, ἐν μήτρᾳ ἀφλέκτως τῆς Θεότητος, λύουσα πανάμωμε, Εὔας τὴν ἀπότισιν, καὶ ὀφειλὴν Πανύμνητε, τῷ θείῳ τόκῳ σου, διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὅλον με ἀνείληφεν ἀρρεύστως, ἀτρέπτως καὶ ἀσυγχύτως καθ' ὑπόστασιν, Λόγος ὁ παντέλειος, ὅλον με ἐθέωσε, τῇ συναφείᾳ Δέσποινα, ὅλως τῇ κρείττονι, διό σε ὡς Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Φύσεως φοιτήσας ὁ τεχνίτης, ἐξ ὄρους τῆς ἀνυμφεύτου Θεομήτορος, βρέφος ὑπομάζιον, χερσὶ καθορᾶται νῦν, ταῖς μητρικαῖς φερόμενον, καὶ πάντας ἤγειρε, Μητέρα τὴν αὐτοῦ ἀνυμνῆσαι, καὶ δοξολογῆσαι, ὡς μόνην Θεοτόκον.

Τοῦ Μάρτυρος.

Λύσας τὰ σεβάσματα τῆς πλάνης, δεσμοῖς ἀντὶ σοῦ τὸν κατεχόμενον, πάνσοφε ἀπέλυσας, καὶ πρὸς τὸ μαρτύριον, αὐτοθελῶς ἐχώρησας, βοῶν πανεύφημε, τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Εὑρέθην ἰδοὺ τοῖς μὴ ζητοῦσι, μὴ ἐπερωτῶσιν ἐπεφάνην δέ, ἔκραζες ἀοίδιμε, σύνετε παράνομοι, ὡς γὰρ ἀρνίον ἄκακον, τυθῆναι ἔσπευσας, τὸν Κύριον, ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro

Ὁ μέγας ἡμᾶς πρὸς εὐωχίαν, Αἱμιλιανὸς συνεκαλέσατο, προθεὶς ὡς ἐδέσματα, τὰ αὐτοῦ παλαίσματα, πνευματικῶς τρυφήσωμεν, πιστοὶ καὶ μέλψωμεν, τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Σταγόνα μοι ὄμβρισον ἐλέους, πηγὴν τοῦ ἐλέους ἡ κυήσασα, καὶ τῆς ἁμαρτίας μου, ξήρανον ὀμβρήματα, καὶ τῆς ψυχῆς μου πράϋνον, ἄγρια κύματα, Παρθένε Θεοτόκε Μαρία, ἵνα σε δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ΄. Ὁ εἱρμός.

>>Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος, >>πανηγυριζέτω δέ, αὔλων νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς >>Θεομήτορος, καὶ βοάτω, χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε. (ἐκ β΄.)

Τροπάρια

Ἅρμα φωτεινόν, τοῦ Λόγου ὑπάρχουσα ἅρμα πυρίμορφον, ἅρμα πολυώνυμον, ἀΰλων θρόνων, ἅρμα ἀσύγκριτον, τοῦ θεϊκοῦ στηρίγματος, ἅρμα χρυσόπλοκον, τοῦ Υἱοῦ σου, ἅρμα με ἀνάδειξον, ἀπαθείας νοὸς Θεονύμφευτε.

Νέον οὐρανόν, ὁ πάντων ἐπέκεινα σὲ κατεσκεύασεν, οὐρανῶν ἀνώτερον, καὶ πάσας πόλου δυνάμεις ἔλαθε, καὶ κατελθὼν ἐνῴκησεν, ὅλος ἐν μήτρᾳ σου, ἀπορρήτως, μὴ ἐκστὰς Θεόνυμφε, τῆς πατρῴας μονῆς ἢ τῆς φύρσεως.

Ἥλιος φαιδρός, ἐφίλησε Δέσποινα, σοῦ τὸ ἀμόλυντον, καὶ κατενυμφεύσατο, ἀρρήτῳ λόγῳ εἰς ἀναζώωσιν, τῆς τεθνηκυίας φύσεως, ὅθεν ἐκ πόθου σε, εὐφημοῦμεν, πίστει καὶ γεραίρομεν, θεϊκῆς ὡς αἰτίαν μεθέξεως.

www.tezaurliturgic.ro

Στῆσον τῶν παθῶν, τὸν σάλον Πανάμωμε, ἐκ τῆς καρδίας μου, παῦσον τὰ σκιρτήματα, τὰ τῆς σαρκός μου τὸν νοῦν ἑδραίωσον, πρὸς θεωρίαν ἄϋλον καὶ λογισμῶν τὰς ὁρμάς, τὰς ἀτάκτους, στρέψον πρὸς ἀπάθειαν, καὶ μελλούσης ζωῆς καταξίωσον.

Τοῦ Μάρτυρος. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ἰδεῖν ἐφιέμενος Θεοῦ τὴν ἄρρητον, εὐφροσύνην καὶ τερπνότητα, πάντων τερπνῶν τῶν ἐν τῷ βίῳ, ἡδέως κατεφρόνησας ἔνδοξε, καὶ χαίρων τὸ μαρτύριον ἤνυσας, ὅθεν σε πόθῳ μακαρίζομεν.

Ὡς θῦμα, ὀπτώμενον πυρὶ πανεύφημε, τοῦ τυθέντος ὥσπερ πρόβατον, θείᾳ τραπέζῃ προσηνέχθης, ὀσμῇ πνευματικῇ συντηρούμενος, καὶ δόξης ἀληθοῦς ἀξιούμενος, ὅθεν σε πάντες μακαρίζομεν.

Σήμερον, ἡ μνήμη σου ἡμῖν ἐξέλαμψεν, ἀθλοφόρε ὑπὲρ ἥλιον, πᾶσαν εὐφραίνουσα καρδίαν, πιστῶν τὰς διανοίας φωτίζουσα, καὶ σκότος νοσημάτων διώκουσα, ἥν ἐπαξίως μακαρίζομεν.

Θεοτοκίον

Φωτί με, καταύγασον τῷ σῷ Πανύμνητε, τὸν ἐν σκότει πορευόμενον, δίδου μοι χεῖρα βοηθείας, τὰ νέφη τῆς ψυχῆς μου ἀπέλασον, παθῶν μου τὸ κλυδώνιον κόπασον, ἀπεγνωσμένων καταφύγιον.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Ὡς πάνοσμον θυμίαμα, προσηνέχθης Δεσπότῃ, σάρκα πυρὶ δοὺς ἅγιε, Δοροστόλου τὸ θαῦμα, Αἰμιλιανὲ χριστόψυχε, ὅθεν πῦρ ταῖς καρδίαις, ἡμῶν ἄναψον πάντοτε, τῆς ἀγάπης Κυρίου, καὶ τῶν παθῶν, σύντριψον τὰ εἴδωλα ταῖς εὐχαῖς σου, ὅπως φαιδρῶς δοξάζωμεν, τὴν σὴν μνήμην θεόφρον.

www.tezaurliturgic.ro

Θεοτοκίον. Ὅμοιον.

Ὄρος Θεοῦ πανάγιον, καὶ λυχνίαν καὶ στάμνον, καὶ κιβωτὸν καὶ τράπεζαν, ράβδον τε καὶ πυρεῖον, καὶ θεῖον θρόνον καὶ πύλην, καὶ ναὸν καὶ παστάδα, ὑμνήσωμεν θεόφρονες, τὴν Ἁγνὴν καὶ Παρθένον, ἐξ ἧς Θεὸς, σαρκωθεὶς ἀτρέπτως καὶ ὑπὲρ φύσιν, ἐθέωσε τὸ πρόσλημμα, ἀπορρήτῳ ἑνώσει.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν στιχηρὰ προσόμοια

Ἦχος πλ.δ′. Ὢ! τοῦ παραδόξου θαύματος.

Αἰμιλιανὲ θεσπέσιε, Χριστοῦ φωτὶ αὐγασθείς, σκότος πλάνης διέλυσας, τῇ στερρᾷ ἐνστάσει σου, μυκτηρίσας τὰ εἴδωλα, διὸ τῇ σφύρᾳ, ταῦτα συνέτριψας, ἔχοντα ὦτα καὶ μὴ ἀκούοντα, ὅθεν ἐπέβλεψεν ἐπὶ σὲ ὁ Κύριος ὁ ἀληθής, καὶ χορῷ μαρτύρων σε, συγκατηρίθμησεν.

Αἰμιλιανὲ χριστόψυχε, γενναιοτάτῃ ψυχῇ, Ἰησοῦν ὡμολόγησας, μόνον εἶναι Κύριον, καὶ Δεσπότην τῆς κτίσεως, Ὧ ὡς ἀρνίον ἐπηκολούθησας, καὶ τὴν ζωήν σου Αὐτῷ παρέθηκας, ὅθεν ἠξίωσε, μαρτυρίου στέφους σε ὡς ἀγαθός, καὶ τρυφὴν οὐράνιον, σοὶ ἐδωρήσατο.

Αἰμιλιανὲ μακάριε, πυρὶ ἀγάπης Χριστοῦ, ὁλικῶς πυρπολούμενος, πάντων κατεφρόνησας, τῶν ἡδέων καὶ ὥρμησας, πρὸς τῆς καμίνου φλόγα τὴν πρόσκαιρον, ἥ σεβασθεῖσα πίστιν ἀκλόνητον, οὐδόλως ἥψατο, σώματός σου ἅγιε, ἀλλὰ φθορᾶς, δίχα τοῦτο ἔλιπε, θαῦμα ἐξαίσιον!

Αἰμιλιανὲ τρισόλβιε, ἔνθα σκηνοῖς σὺν Θεῷ, ἀξιώσαις πρεσβείας σου, πάντας τοὺς τιμῶντας σου, τὴν τιμίαν πανήγυριν, συγκαθεσθῆναι ἐν ὥρᾳ κρίσεως, καὶ ἀπολαῦσαι, δόξης ἀφθάρτου σου, ὅπως δοξάζωμεν, χαίροντες τὸν Κύριον μετὰ χορῶν, οὕς περ συνεκάλεσεν, εἰς βασιλείαν Αὐτοῦ.

Δόξα. Ἦχος ὁ αὐτός.

Αἷμα καὶ πῦρ, συζυγία χαρμονῆς· δόσις μικρὰ καὶ βραβείων πληθύς! Οὐ γὰρ ἄξια τὰ τοῦ παρόντος αἰῶνος τοῦ ἀπατεῶνος τὰ σφοδρὰ

www.tezaurliturgic.ro

παθήματα. Ἄλλος κόσμος καὶ τρυφὴ ἀναμένει με καὶ γάρ. Θεία εὐφροσύνη, θέα ζωῆς ἀληθοῦς. Ἀντί πόνων ὕμνοι, ἀντὶ βασάνων κατάπαυσις, ἀντὶ λύπης ἄληκτος χαρά. Οὕτω λέγων τοῖς τυράννοις ὁ γεννάδας Αἰμιλιανός, πίστει ἀπολαύει, ἅ ἐλπίδι ἐκαρτέρει. Διὸ αὐτῷ βοήσωμεν· Μάρτυς τοῦ Χριστοῦ, τῷ ὁμωνύμῳ σοι ἡμῶν Πατρὶ φάνηθι ἀεὶ ἀντιλήπτωρ, καὶ πρέσβυς ἡμῶν ἀκοίμητος.

Καὶ νῦν. Θεοτοκίον. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη
καὶ τὰ λοιπὰ τοῦ Ὄρθρου, ὡς σύνηθες.
Εἰς τὴν Θ.λειτουργίαν· Τυπικά, Μακαρισμοί ἐκ τῆς γ′ καὶ στ′ ᾠδῆς τοῦ Μάρτυρος.
Ἀποστολοευάγγελον, τὰ τοῦ ἁγ.Δημητρίου -ΚΣΤ′ Ὀκτωβρίου.
Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον

Ἴαμα ὡς δρόσος ἑωθινή, εὐσεβέσιν ὤφθη, ἡ σὴ ἄθλησις ἐν πυρί, δι᾽ αὐτῆς γὰρ μάρτυς, τῷ κόσμῳ διαπνέεις, Αἰμιλιανὲ θεῖε, Πνεύματος χάριτας.

